# TEZAUR LITURGIC

## 25 IULIE

# SLUJBA
## SF.IERARH
# GRIGORIE
# KALLIDIS,
## MITROPOLITUL
## IRACLIEI
## ŞI REDESTULUI

ATENA,2010


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# 25 ΙΟΥΛΙΟΣ
# ΓΡΗΓΟΡΙΟΣ ΚΑΛΛΙΔΗΣ
# ΜΗΤΡΟΠΟΛΙΤΗΣ
# ΗΡΑΚΛΕΙΑΣ & ῬΑΙΔΕΣΤΟΥ
# ΑΚΟΛΟΥΘΙΑ

## ΜΕΓΑΣ ΕΣΠΕΡΙΝΟΣ

Εὐλογήσαντος τοῦ ἱερέως, ὁ Προοιμιακός, καὶ τό· *Μακάριος ἀνήρ.* Εἰς δὲ τό· *Κύριε ἐκέκραξα,* ἱστῶμεν στίχους στ’, καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια, δευτεροῦντες αὐτά. Ἦχος δ΄. Ἔδωκας σημείωσιν.

Σοῦ τὴν καθαρότητα, καὶ τοῦ νοὸς τὴν εὐθύτητα, καὶ τὸν βίον τὸν ἔνθεον, ὁ βλέπων τὰ κρύφια, κατιδὼν ἀνάγει, εἰς μέγιστον θρόνον, χρίσας τῷ μύρῳ σε σοφέ, καὶ τελειώσας καὶ ποίμνης οἴακας, σαφῶς ἐγχειρισάμενος, ἣν πρὸς λιμένας ὡδήγησας, τοῦ ἐνθέου θελήματος, θεοφόρε Γρηγόριε.

Πάντα τὰ αἰτήματα, τῆς σῆς καρδίας ὁ Κύριος, ἀξιάγαστε δέδωκε· πάσας γὰρ ἐτήρησας, τὰς νομοθεσίας, τὰς σωτηριώδεις τὸν γὰρ Θεὸν ὁλοσχερῶς, καὶ τὸν πλησίον θεομακάριστε, ὡς σεαυτὸν ἠγάπησας, καὶ δεομένοις ἐπήρκεσας· διὰ τοῦτό σε σήμερον, ἀνυμνοῦμεν Γρηγόριε.

Ἐσκόρπισας ἔδωκας, τοῖς δεομένοις τὸν ἄρτον σου, θεοφόρε Γρηγόριε, ἔλεον μιμούμενος, τοῦ συμπαθεστάτου, Ὅσιε Δεσπότου· διό σου μένει

ἀληθῶς, εἰς τὸν αἰῶνα ἡ μνήμη Ἅγιε, ἣν πίστει ἑορτάζοντας, ταῖς σαῖς πρεσβείαις περίσωζε, πειρασμῶν τε καὶ θλίψεων, ἱεράρχα πανόλβιε.

*Δόξα. Ἦχος πλ. β΄.*

Δεῦτε πιστοί, Γρηγόριον τιμήσωμεν, τὸν ἔνθεον τοῦ Χριστοῦ θεράποντα, Θεσσαλονίκης τὸ καύχημα, Ἡρακλείας καὶ Ῥαιδεστοῦ τὸ μέγιστον ἐγκαλλώπισμα· εὐφημήσωμεν ᾄσμασιν τὸν πάνυ ἐλεήμονα. Οὗτος γάρ, ἐν τῷ ὕψει τῆς ἀρχιερωσύννης διαπρέψας, ἔργοις ἐλέους τὴν Ἐκκλησίαν κατεκόσμησεν, καὶ θείοις διδάγμασι κορωνὶς γενόμενος ἀρχιερέων Ἁγίων. Διὸ καὶ δεδόξασται παρὰ Χριστοῦ τοῦ Θεοῦ, μακαρίσαντος ἐξόχως τοὺς ἐλεήμονaας. Καὶ νῦν, Ὅσιε ἱεράρχα, ἐλέους αἰτοῦντας, σὺ ὁ Χριστὸς ξενίσας διὰ τῶν πενήτων, πρέσβευε ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

*Καὶ νῦν. Θεοτοκίον*

Τίς μὴ μακαρίσει σε, Παναγία Παρθένε; τίς μὴ ἀνυμνήσει σου τὸν ἀλόχευτον τόκον; ὁ γὰρ ἀχρόνως ἐκ Πατρὸς ἐκλάμψας Υἱὸς μονογενής, ὁ αὐτός ἐκ σοῦ τῆς Ἁγνῆς προῆλθεν, ἀφράστως σαρκωθείς, φύσει Θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος ἄνθρωπος δι' ἡμᾶς, οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ' ἐν δυάδι φύσεων, ἀσυγχύτως γνωριζόμενος. Αὐτὸν ἱκέτευε, σεμνὴ Παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

*Εἴσοδος. Φῶς ἱλαρόν. Προκείμενον τῆς ἡμέρας. Ἀναγνώσματα.*

*Παροιμιῶν τὸ Ἀνάγνωσμα. (Κεφ. ι'.7)*

Μνήμη δικαίου μετ᾽ ἐγκωμίων, καὶ εὐλογία Κυρίου ἐπὶ κεφαλὴν αὐτοῦ. Μακάριος ἄνθρωπος, ὃς εὗρε σοφίαν, καὶ θνητὸς ὃς οἶδε φρόνησιν. Κρεῖσσον γὰρ αὐτὴν ἐμπορεύεσθαι, ἢ χρυσίου καὶ ἀργυρίου θησαυρούς. Τιμιωτέρα δὲ ἐστι λίθων πολυτελῶν· πᾶν δὲ τίμιον οὐκ ἄξιον αὐτῆς ἐστιν. Ἐκ γὰρ τοῦ στόματος αὐτῆς ἐκπορεύεται δικαιοσύνη, νόμον δὲ καὶ ἔλεον ἐπὶ γλώσσης φορεῖ. Τοιγαροῦν ἀκούσατέ μου, ὦ τέκνα· σεμνὰ γὰρ ἐρῶ, καὶ μακάριος ἄνθρωπος, ὃς τὰς ἐμὰς ὁδοὺς φυλάξει. Αἱ γὰρ ἔξοδοί μου, ἔξοδοι ζωῆς, καὶ ἑτοιμάζεται θέλησις παρὰ Κυρίου. Διὰ τοῦτο παρακαλῶ ὑμᾶς, καὶ προΐεμαι ἐμὴν φωνὴν υἱοῖς ἀνθρώπων. Ὅτι ἐγὼ ἡ σοφία κατεσκεύασα βουλήν, καὶ γνῶσιν καὶ ἔννοιαν ἐγὼ ἐπεκαλεσάμην. Ἐμὴ βουλὴ καὶ ἀσφάλεια, ἐμὴ φρόνησις, ἐμὴ δὲ ἰσχύς. Ἐγὼ τοὺς ἐμὲ φιλοῦντας ἀγαπῶ, οἱ δὲ ἐμὲ ζητοῦντες εὑρήσουσι χάριν. Νοήσατε τοίνυν ἄκακοι πανουργίαν, οἱ δὲ ἀπαίδευτοι ἔνθεσθε καρδίαν. Εἰσακούσατέ μου καὶ πάλιν· σεμνὰ γὰρ ἐρῶ, καὶ ἀνοίγω ἀπὸ χειλέων ὀρθά. Ὅτι ἀλήθειαν μελετήσει ὁ λάρυγξ μου, ἐβδελυγμένα δὲ ἐναντίον ἐμοῦ χείλη ψευδῶ. Μετὰ δικαιοσύνης πάντα τὰ ῥήματα τοῦ στόματός μου, οὐδὲν ἐν αὐτοῖς σκολιόν, οὐδὲ στραγγαλιῶδες. Πάντα εὐθέα ἐστὶ τοῖς νοοῦσι, καὶ ὀρθὰ τοῖς εὑρίσκουσι γνῶσιν. Διδάσκω γὰρ ὑμῖν ἀληθῆ, ἵνα γένηται ἐν Κυρίῳ ἡ ἐλπὶς ὑμῶν, καὶ πλησθήσεσθε πνεύματος.

*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα. (Κεφ. ι'.32)*

Στόμα δικαίου ἀποστάζει σοφίαν, χείλη δὲ ἀνδρῶν ἐπίστανται χάριτας· Στόμα σοφῶν μελετᾷ σοφίαν, δικαιοσύνη δὲ ῥύεται αὐτοὺς ἐκ θανάτου. Τελευτήσαντος ἀνδρός δικαίου οὐκ ὄλλυται ἐλπίς· υἱὸς γὰρ δίκαιος γεννᾶται εἰς ζωήν, καὶ ἐν ἀγαθοῖς αὐτοῦ καρπὸν δικαιοσύνης τρυγήσει. Φῶς δικαίοις διαπαντός, καὶ παρὰ Κυρίου εὑρήσουσι χάριν καὶ δόξαν. Γλῶσσα σοφῶν καλὰ ἐπίσταται, καὶ ἐν καρδίᾳ αὐτῶν ἀναπαύσεται σοφία. Ἀγαπᾷ Κύριος ὁσίας καρδίας, δεκτοὶ δὲ αὐτῷ πάντες ἄμωμοι ἐν ὁδῷ. Σοφία Κυρίου φωτιεῖ πρόσωπον συνετοῦ· φθάνει γὰρ τοὺς ἐπιθυμοῦντας αὐτήν, πρὸ τοῦ γνωσθῆναι, καὶ εὐχερῶς θεωρεῖται ὑπὸ τῶν ἀγαπώντων αὐτήν. Ὁ ὀρθρίσας πρὸς αὐτὴν οὐ κοπιάσει, καὶ ὁ ἀγρυπνήσας δι' αὐτήν, ταχέως ἀμέριμνος ἔσται. Ὅτι τοὺς ἀξίους αὐτῆς αὐτὴ περιέρχεται ζητοῦσα, καὶ ἐν ταῖς τρίβοις φαντάζεται αὐτοῖς εὐμενῶς. Σοφίας οὐ κατισχύσει ποτὲ κακία. Διὰ ταῦτα καὶ ἐραστὴς ἐγενόμην τοῦ κάλλους αὐτῆς καὶ ἐφίλησα ταύτην, καὶ ἐξεζήτησα ἐκ νεότητός μου, καὶ ἐζήτησα νύμφην ἀγαγέσθαι ἐμαυτῷ. Ὅτι ὁ πάντων Δεσπότης ἠγάπησεν αὐτήν. Μύστης γὰρ ἐστι τῆς τοῦ Θεοῦ ἐπιστήμης, καὶ αἱρέτις τῶν ἔργων αὐτοῦ. Οἱ πόνοι αὐτῆς εἰσὶν ἀρεταί· σωφροσύνην δὲ καὶ φρόνησιν αὕτη διδάσκει, δικαιοσύνην καὶ ἀνδρείαν, ὧν χρησιμώτερον οὐδέν ἐστιν ἐν βίῳ ἀνθρώποις. Εἰ καὶ πολυπειρίαν ποθεῖ τις, οἶδε τὰ ἀρχαῖα καὶ τὰ μέλλοντα εἰκάζειν, ἐπίσταται στροφὰς λόγων, καὶ

λύσεις αἰνιγμάτων, σημεῖα καὶ τέρατα προγινώσκει, καὶ ἐκβάσεις καιρῶν καὶ χρόνων, καὶ πᾶσι σύμβουλός ἐστιν ἀγαθή. Ὅτι ἀθανασία ἐστὶν ἐν αὐτῇ, καὶ εὔκλεια ἐν κοινωνίᾳ λόγῳ αὐτῆς. Διὰ τοῦτο ἐνέτυχον τῷ Κυρίῳ, καὶ ἐδεήθην αὐτοῦ, καὶ εἶπον ἐξ ὅλης μου τῆς καρδίας. Θεὲ Πατέρων, καὶ Κύριε τοῦ ἐλέους, ὁ ποιήσας τὰ πάντα ἐν λόγῳ σου, καὶ τῇ σοφίᾳ σου κατασκευάσας τὸν ἄνθρωπον, ἵνα δεσπόζῃ τῶν ὑπὸ σοῦ γενομένων κτισμάτων, καὶ διέπῃ τὸν κόσμον ἐν ὁσιότητι καὶ δικαιοσύνῃ, δός μοι τὴν τῶν σῶν θρόνων πάρεδρον σοφίαν, καὶ μὴ με ἀποδοκιμάσῃς ἐκ παίδων σου, ὅτι ἐγὼ δοῦλος σός, καὶ υἱὸς τῆς παιδίσκης σου. Ἐξαπόστειλον αὐτὴν ἐξ ἁγίου κατοικητηρίου σου καὶ ἀπὸ θρόνου δόξης σου, ἵνα συμπαροῦσά μοι διδάξῃ με, τὶ εὐάρεστόν ἐστι παρὰ σοί. Καὶ ὁδηγήσῃ με ἐν γνώσει, καὶ φυλάξῃ με ἐν τῇ δόξῃ αὐτῆς. Λογισμοὶ γὰρ θνητῶν πάντες δειλοὶ καὶ ἐπισφαλεῖς αἱ ἐπίνοιαι αὐτῶν.

*Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.(Κεφ. ζ'.7)*

Δίκαιος, ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη· καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν, μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ· βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς

ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Λιτή. Ἦχος α΄.*

Τὸν τῆς εὐποιΐας ἐραστήν, καὶ τῆς ἐλεημοσύνης φερώνυμον, δεῦτε πιστοὶ Γρηγόριον, ἀξίως εὐφημήσωμεν. Οὗτος γάρ, ποιῶν ἐλεημοσύνας, Θεῷ τῷ ἀγαθῷ εὐηρέστησεν, ἐν ἀγαθοεργίαις καὶ οἰκτιρμοῖς πενήτων, καὶ νῦν ἐλεηθείς, μακαρισμοῦ ἠξιώθη, Θεῷ ἐλεήμονι παριστάμενος. Αὐτὸν ἱκετεύσωμεν, ὑπὲρ τῶν πίστει καὶ πόθῳ, τελούντων τὴν θείαν μνήμην αὐτοῦ.

*Ἦχος β΄.*

Πνευματικὴν χορείαν σήμερον, δεῦτε συγκροτήσωμεν, ἐπὶ τῇ μνήμῃ Γρηγορίου τοῦ ἐλεήμονος, μιμούμενοι αὐτοῦ τὴν ἱλαρότητα, τὸ πρᾶον τὴν ταπείνωσιν· δι’ ὧν ἔλαμψεν ὡς ἥλιος τοῖς πέρασιν, ὁ τῆς Ἡρακλείας πρόεδρος, θείᾳ ψήφῳ καὶ λαοῦ ποιμὴν δειχθείς· ὅθεν, Χριστῷ τῷ ἀρχιποίμενι βοήσωμεν· τοῦ ἱεράρχου πρεσβείαις, ὁ Θεὸς ἡμῶν ἐλέησον τὸν κόσμον Σου, καὶ σῶσον τὰς ψυχὰς ἡμῶν.

*Δόξα. Ἦχος πλ. α΄.*

Βασιλεῦ οὐράνιε, οἶδα πόσα δύνασαι, ἐκτελεῖν θαυμάσια, τὸν θεῖόν Σου καταπλουτίσας, Γρηγόριον

τὸν θεόφρονα. Πεφυτευμένος γὰρ ἐν τῷ οἴκῳ σου, ἐξήνθησε δικαίως, καὶ τῆς Ἡρακλείας ἐπλήθυνε τὰ πνευματικὰ σπέρματα, ὑπογραμμὸς καὶ τύπος, αὐτῇ τε καὶ ἡμῖν, ταῖς θείαις ἀρεταῖς γενόμενος. Διὸ ταῖς τοῦ ἱεράρχου ἱκεσίαις, οὗ παῤῥησίαν ἔχοντος πολλήν, τῆς Βασιλείας Σου ἀξίωσον ἡμᾶς, τοὺς πίστει καὶ πόθῳ ἑορτάζοντας, τὴν ἀεισέβαστον μνήμην αὐτοῦ.

*Καὶ νῦν. Θεοτοκίον*

Ἐν τῇ Ἐρυθρᾷ θαλάσσῃ τῆς ἀπειρογάμου Νύμφης εἰκὼν διεγράφη ποτέ. Ἐκεῖ Μωϋσῆς διαιρέτης τοῦ ὕδατος, ἐνθάδε Γαβριὴλ ὑπηρέτης τοῦ θαύματος, τότε τὸν βυθὸν ἐπέζευσεν ἀβρόχως, Ἰσραήλ, νῦν δὲ τὸν Χριστὸν ἐγέννησεν ἀσπόρως ἡ Παρθένος, ἡ θάλασσα μετὰ τὴν πάροδον τοῦ Ἰσραήλ, ἔμεινεν ἄβατος, ἡ ἄμεμπτος μετὰ τὴν κύησιν τοῦ Ἐμμανουήλ, ἔμεινεν ἄφθορος, ὁ ὢν καὶ προών, καὶ φανεὶς ὡς ἄνθρωπος, Θεὸς ἐλέησον ἡμᾶς.

*Εἰς τὸν Στίχον. Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.*

Χαίροις, ὁ ἱεράρχης Χριστοῦ, τῆς Ἡρακλείας ὁ περίδοξος πρόεδρος, ὁ τύπος τῆς ἐγκρατείας, τῆς ἀπαθείας λειμών, ἀρετῶν τὰ ἄνθη προβαλλόμενος, ἐξ ὧν τῆς τοῦ Πνεύματος, εὐωδίας καρπούμεθα, καὶ τὸ δυσώδες, τῶν παθῶν ἐκτρεπόμεθα, θείᾳ χάριτι· θεοφόρε Γρηγόριε Ὅσιε, σκεῦος τὸ καθαρώτατον, τῆς θείας χρηστότητος, ὁ τῶν ψυχῶν οἰκονόμος, ἀληθειῶν ὁ διδάσκαλος· Χριστὸν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Στ.: *Τίμιος ἐναντίον Κυρίου, ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.*

Χαίροις, ὁ τῶν πεινώντων τροφεύς, τῶν δεομένων παροχεὺς ἀφθονώτατος, ἡ χάρις τῆς συμπαθείας, ἡ τοῦ ἐλέους πηγή, καταπονουμένων ἡ ἀντίληψις, χηρῶν ἡ ἐπίσκεψις, ἀσθενούντων παράκλησις, γυμνητευόντων, ἀσφαλὲς περιβόλαιον, ὀξυτάτη τε, τῶν πιπτόντων ἀνόρθωσις· Πάτερ ὑπερουράνιε, ἱλέῳ σου ὄμματι, ἄνωθεν πρόσχες καὶ θείας φιλανθρωπίας μετάδοσιν, Χριστὸν καταπέμψαι, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Στ.: *Οἱ ἱερεῖς Σου Κύριε ἐνδύσονται δικαιοσύνην, καὶ οἱ ὅσιοί Σου ἀγαλλιάσονται.*

Χαίροις, τῶν ἀρετῶν θησαυρός, παιδαγωγία τῆς νεότητος ἔνδοξε, τοῦ γήρως ἡ βακτηρία, τῶν πλανωμένων ποιμήν, τῶν ἁμαρτανόντων ἡ διόρθωσις, λειμὼν εὐωδέστατος, μυροθήκη τοῦ Πνεύματος, τῆς εὐποιΐας, ποταμὸς ὁ ἀέναος, θείας χάριτος δότης ὁ ἱλαρώτατος, κρήνη πλουσιοπάροχος, ἡ βρύουσα πάντοτε, νάματα θεῖα τοῖς πᾶσιν, τοῖς ἐν πίστει προστρέχουσι, Χριστὸν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

*Δόξα. Ἦχος πλ. δ΄.*

Εὐφραίνονται σήμερον αἱ Ἐκκλησίαι ἅπασαι, τιμῶσαι τὸν μέγιστον ἐν ἱεράρχαις, θεῖον Γρηγόριον, Τραπεζοῦντος ἀγλάϊσμα, Θεσσαλονίκης τὸ καύχημα, Ἰωαννίνων τὸ ἐγκαλλώπισμα, Ῥαιδεστοῦ καὶ Ἡρακλείας, τὸν θεοτίμητον πρόεδρον. Οὗτος γὰρ

ἀφειδῶς, τὸν ἑαυτοῦ πλοῦτον διένειμε πτωχοῖς, καὶ ἐνδεέσιν ἐπήρκεσε αὐτός· ἐν τῇ ἐπισκοπῇ αὐτοῦ Ἡρακλείᾳ, εὐαγῆ ἱδρύματα ἤγειρεν· διὸ οὐρανίων ἀγαθῶν, εὗρεν ἀπόλαυσιν· ὧν καὶ ἡμᾶς ἀξίωσον ὁ Θεός, εὐχαῖς αὐτοῦ, διὰ τὸ μέγα Σου καὶ πλούσιον ἔλεος.

*Καὶ νῦν. Θεοτοκίον*

Ἀνύμφευτε Παρθένε, ἡ τὸν Θεὸν ἀφράστως συλλαβοῦσα σαρκί, Μήτηρ Θεοῦ τοῦ ὑψίστου, σῶν οἰκετῶν παρακλήσεις δέχου Πανάμωμε, ἡ πᾶσι χορηγοῦσα καθαρισμὸν τῶν πταισμάτων, νῦν τὰς ἡμῶν ἱκεσίας προσδεχομένη, δυσώπει σωθῆναι πάντας ἡμᾶς.

*Νῦν ἀπολύεις. Τρισάγιον.*

*Ἀπολυτίκιον. Ἦχος α’. Τῆς ἐρήμου πολίτης.*

Ἡρακλείας τὸν γόνον Θεσσαλονίκης τὸν πρόεδρον, τὸν ἐσχάτοις χρόνοις φανέντα, ἀρετῆς φίλον γνήσιον, Γρηγόριον τιμήσωμεν πιστοί, ὡς ἔνθεον θεράποντα Χριστοῦ, ἀναβλύζει γὰρ ἰάσεις παντοδαπάς, τοῖς εὐλαβῶς κραυγάζουσι· δόξα τῷ σὲ δοξάσαντι Χριστῷ, δόξα τῷ σὲ θαυμαστώσαντι, δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ πᾶσιν ἰάματα.

*Δόξα. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.*

Τοῖς λόγοις ἐκόσμησας τὴν Ἐκκλησίαν Χριστοῦ, τοῖς ἔργοις ἐτίμησας τὸ κατ’ εἰκόνα Θεοῦ, Γρηγόριε ἔνδοξε· ἔλαμψας ἐν τῷ κόσμῳ, δι’ ἀσκήσεων θείων, χάριτας ἰαμάτων, ἀπαστράπτων τοῖς πᾶσι· διὸ ἐν παῤῥησίᾳ Χριστῷ, πρέσβευε σωθῆναι ἡμᾶς.

*Καὶ νῦν. Θεοτοκίον*

Τὸ ἀπ' αἰῶνος ἀπόκρυφον, καὶ Ἀγγέλοις ἄγνωστον μυστήριον· διὰ σοῦ Θεοτόκε τοῖς ἐπὶ γῆς πεφανέρωται, Θεὸς ἐν ἀσυγχύτῳ ἑνώσει σαρκούμενος, καὶ Σταυρὸν ἑκουσίως ὑπὲρ ἡμῶν καταδεξάμενος, δι' οὗ ἀναστήσας τὸν πρωτόπλαστον, ἔσωσεν ἐκ θανάτου τὰς ψυχὰς ἡμῶν.

*Ἀπόλυσις.*

## ΟΡΘΡΟΣ

*Μετὰ τὴν α’ Στιχολογίαν,*

*Κάθισμα. Ἦχος γ΄. Θείας πίστεως.*

Ἔργοις ἔλαμψας, φιλανθρωπίας, πλοῦτον δέδωκας, τοῖς δεομένοις, τῇ ἀρετῇ τῆς ἀγάπης κοσμούμενος, καὶ τὴν αὐτῶν ἀμοιβὴν κομιζόμενος, παρὰ Θεοῦ ἐδοξάσθης θεσπέσιε, Πάτερ Ὅσιε, τοῦ θείου ἐλέους ἔμπλησον, τοὺς πίστει ἐλεήμων σὲ γεραίροντας.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Ἄπας ὁ βίος μου, ἐν ῥαθυμίᾳ πολλῇ, διῆλθε πάναγνε, καὶ νῦν προσήγγισα, τῷ τῆς ἐξόδου μου καιρῷ, καὶ δέδοικα τοὺς ἐχθρούς μου· μὴ διασπαράξωσιν, τὴν ψυχήν μου Θεόνυμφε, καὶ τῆς ἀπωλείας με, τῷ βυθῷ παραπέμψωσιν, ἀλλὰ οἴκτειρον τὸν δοῦλόν Σου Κόρη, καὶ ῥῦσαί με τῆς τούτων κακίας.

*Μετὰ τὴν β᾽ Στιχολογίαν,*
*Κάθισμα. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.*

Σοῦ θείαν παγκόσμιον καὶ εὐκλεῆ ἑορτήν, τελοῦντες πανεύφημε δοξολογοῦμεν Χριστόν, αἰτοῦντες πρεσβείαις σου, νόσον φιλαργυρίας, ἀνιάτου ῥυσθῆναι, πάθους πλεονεξίας, καὶ σκληρᾶς ἀσπλαγχνίας, τοὺς πόθῳ σε μακαρίζοντας, Γρηγόριε Ὅσιε.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Ἡ μόνη κυήσασα τὸν Ποιητὴν τοῦ παντός, ἡ μόνη κοσμήσασα τὴν ἀνθρωπότητα, τῷ Τόκῳ Σου ἄχραντε, ῥῦσαί με τῶν παγίδων, τοῦ δολίου βελίαρ, στῆσόν με ἐπὶ πέτραν, ἐντολῶν τῶν μεγίστων, καὶ δὴ ἀγάπης πρὸς τὸν Θεόν, καὶ πρὸς τὸν ἄνθρωπον.

*Μετὰ τὸν Πολυέλεον,*
*Κάθισμα. Ἦχος α΄. Τὸν τάφον Σου Σωτήρ.*

Θεοῦ σὺ μιμητής, ἀνεδείχθης θεόφρον, ἐλέους τοὺς καρπούς, ἀφανίσας τῷ κόσμῳ, τῶν θείων διδάσκαλος, καὶ ποιμὴν ἐνθεώτατος, τούτους ἔδωκας, ἐν τῷ λαῷ σου οἰκτίρμον, καὶ παράδεισον, οἰκήσας μάκαρ Ὁσίων, τὸν βίον μιμούμενος.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Μαρία τὸ σεπτόν, τοῦ Δεσπότου δοχεῖον, ἀνάστησον ἡμᾶς, πεπτωκότας εἰς χάος, δεινῆς ἀπογνώσεως, καὶ πταισμάτων καὶ θλίψεων. Σὺ γὰρ πέφυκας, ἁμαρτωλῶν σωτηρία, καὶ βοήθεια, καὶ κραταιὰ προστασία, καὶ σῴζεις τοὺς δούλους σου.

Εἶτα, οἱ Ἀναβαθμοί· τὸ α’ Ἀντίφωνον τοῦ δ΄ ἤχου.

Προκείμενον: *Τίμιος ἐναντίον Κυρίου, ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.*

Στ.: *Οἱ ἱερεῖς Σου Κύριε ἐνδύσονται δικαιοσύνην, καὶ οἱ ὅσιοί Σου ἀγαλλιάσονται.*

Εὐαγγέλιον, εἰς Ἱεράρχην.

Ὁ Ν’ ψαλμός.

Δόξα: *Ταῖς τοῦ Ἱεράρχου...*

Καὶ νῦν: *Ταῖς τῆς Θεοτόκου...*

Ἰδιόμελον. Ἦχος β΄. Στ.: *Ἐλέησόν με ὁ Θεός...*

Ἐν τοῖς ἐπουρανίοις σκηνώμασιν, σὺν ἱεραρχῶν ταῖς χορείαις, τὸ πνεῦμά σου αἰωνίως ἀγάλλεται, Γρηγόριε θεοδόξαστε, καὶ δοξάζεται Χριστός, ὁ δοξασθεὶς ὑπὸ σοῦ διὰ τῆς πρὸς τοὺς χρήζοντας εὐποιΐας σου, καὶ δοξάσας σε εἰς τὴν οἰκουμένην ἅπασαν.

Εἶτα, οἱ Κανόνες· τῆς Θεοτόκου καὶ τοῦ Ἁγίου.

*Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ὑγρὰν διοδεύσας.*

Ταῖς θείαις ἐκλάμπων μαρμαρυγαῖς, φῶς θεῖόν μοι δίδου, τῷ παιδίῳ σου ἱερέ, ὅπως ἀνυμνήσω θεοφρόνως, τῶν ἀρετῶν σου παμμάκαρ τὰς χάριτας.

Σοφίᾳ τῇ θείᾳ καταυγασθείς, σοφὸς ἱεράρχης, Ἐκκλησίας τῆς τοῦ Χριστοῦ, Πάτερ ἀνεδείχθης ἀνακράζων· τῷ Λυτρωτῇ καὶ Θεῷ ἡμῶν ᾄσωμεν.

Ἰλύος ἁπάσης τῶν γεηρῶν, μακρύνας ἐμφρόνως, ἠκολούθησας τῷ Χριστῷ, καὶ βίον Γρηγόριε Ὁσίων, ἀσκητικῶς πεπολίτευσαι ἔνδοξε.

*Θεοτοκίον.*

Σαρκὶ ἑνωθῆναι ἐκ τῶν ἁγνῶν, αἱμάτων Σου Κόρη, εὐδοκήσας ὁ Ποιητής, ἐκ Σοῦ προελήλυθεν τῷ κόσμῳ, καὶ τῶν ἀνθρώπων τὸ γένος διέσωσεν.

*ᾨδὴ γ΄. Οὐρανίας ἁψῖδος.*

Τῇ πολλῇ συμπαθείᾳ τὸν συμπαθῆ Κύριον, Πάτερ θεραπεύων δι᾽ οἴκτῳ, σάρκα πτωχεύσαντα, πτωχοῖς ἐπήρκεσας, ξένους ἀστέγους συνῆξας, πληρωτὴς προστάξεων θείων γενόμενος.

Ἱεροῦ ἐπὶ θρόνου ψήφῳ Θεοῦ ἔνδοξε, Γρηγόριε Πάτερ καθίσας, καθάπερ ἄγγελος, σὺ πεπολίτευσαι, εἰρηνικὰς ἀναφέρων, ἱερὰς θυσίας τε τῷ πανοικτίρμονι.

Εὐπρεπὴς ὥσπερ κόρη ἐξ ἐλαιῶν στέφανον, ἐπιφερομένη ἐπώφθη σοι ἀξιάγαστε, τοῦ ἐλεήμονος, ἡ εὐσυμπάθητος χάρις, προσεφελκομένη σε πρὸς θεῖον ἔλεος.

*Θεοτοκίον.*

Ἐπὶ Σοὶ Παναγία ὁ τοῦ παντὸς αἴτιος, δι᾽ ὑπερβολὴν εὐσπλαγχνίαν θέλων ἐσκήνωσεν, καὶ καθηγίασεν, τὴν τῶν ἀνθρώπων οὐσίαν, παραβάσει πρότερον ἐξολισθήσασαν.

*Κάθισμα. Ἦχος πλ. δ΄. Τὴν Σοφίαν καὶ Λόγον.*

Ἐλεήμονα γνώμην ἀναλαβών, εὐσυμπάθητος ὤφθης προσεπαρκῶς, πτωχοῖς ἐνδεέσι τε, θεοφόρε Γρηγόριε· διὰ τοῦτο κλῆσιν τῇ πράξει κατάλληλον, παρὰ πάντας

μάκαρ, ἁγίου ἐπλούτησας· ὅθεν ὁ δοτήρ σε, τοῦ ἐλέους μεγάλως, θεόφρων ἠλέησε, καὶ φαιδρῶς κατελάμπρυνεν, ἱεράρχα πανόλβιε, πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Τῇ σταθερᾷ Σου Θεομήτωρ πρὸς τὸν Κτίστην, καὶ τῇ ἀλήκτῳ ἱκεσίᾳ τοὺς ἐν πίστει, τὸν πανάγιον Τόκον τὸν Σὸν σεβομένους, ἐκ πάσης ῥῦσαι ἀνάγκης καὶ συμφορᾶς, καὶ δίδου πρὸς τὸν Υἱόν Σου οἰκιακήν, παῤῥησίαν ὡς δυνατή, ἐξευμενίσασθαι Αὐτόν, εὑρεῖν ἡμᾶς διάλυσιν, ὧν ἐν βίῳ ἡμάρτομεν.

*ᾨδὴ δ΄. Εἰσακήκοα Κύριε.*

Ὡς νεόφωτος ἥλιος, ἐν τῇ Ἐκκλησίᾳ Πάτερ ἀνέλαμψας, ἐναρέτοις κατορθώμασι, Γρηγόριε λαμπρύνων τὰς ψυχὰς ἡμῶν.

Νοῦν τὸν σὸν καθηράμενος, πάσης ὑλικῆς φροντίδος μακάριε, ἐπληρώθης θείας χάριτος, καὶ ἀρχιερεὺς ὤφθης θεόληπτος.

Ἀπελαύνει νοσήματα, καὶ τὰ πονηρὰ ἑκάστοτε πνεύματα, ἡ τοῦ σκήνους σου μακάριε, χάρις ἐνοικοῦσα θείου Πνεύματος.

*Θεοτοκίον.*

Τὸν Θεὸν Ὃν ἐκύησας, σεσωματωμένον ἐκ τῆς νηδύος Σου, καθικέτευε πανάμωμε, μώμου ἐγκλημάτων ἐκκαθᾶραί με.

*Ὠδὴ ε΄. Φώτισον ἡμᾶς.*

Τῶν ἱεραρχῶν, ὦ Γρηγόριε τὸ καύχημα, τοῖς μετὰ πόθου σε γεραίρουσι, τῶν ἰαμάτων τὰ χαρίσματα χορήγησον.

Ἄνωθεν ἡμᾶς, ἐποπτεύεις ἐκλυτρούμενος, ἐκ παντοίων ἀναγκῶν καὶ συμφορῶν, τοὺς ἐν πίστει εὐφημοῦντάς σε Γρηγόριε.

Μόνον τὸν Θεόν, ἔσχες Πάτερ ἐν καρδίᾳ σου· δι’ αὐτοῦ τῶν ἰαμάτων τοὺς κρουνούς, ὡς ἀπὸ κρήνην ἀναβλύζεις τῆς σῆς λάρνακος.

*Θεοτοκίον.*

Ἅπαντα ἐχθρόν, δυσμενῶς ἐπιτιθέμενον, καθ’ ἡμῶν τῶν δούλων Σου πανάμωμε, θείῳ κράτει Σου ταχέως ἐξαφάνισον.

*Ὠδὴ στ΄. Τὴν δέησιν.*

Δεήσεσι, καὶ νηστείαις σχολάζων, καὶ ἀγρύπνως τὸν Θεὸν ἱκετεύων, ὀπτασίων, καὶ ὁράσεων θείων, κατηξιώθη θεόφρον πανόλβιε, μυούμενος τὰ ὑπὲρ νοῦν, διανοίας σοφὲ καθαρότητι.

Ὡς ἄγγελος, μετὰ σώματος Πάτερ, ἐπὶ γῆς ἐπολιτεύσω θυσίας, εἰρηνικῶς, ἀναιμάκτους τῇ πίστει, συντετριμμένῃ καρδίᾳ καὶ πνεύματι, μακάριε τῷ Ποιητῇ, γηθοσύνως προσφέρων Γρηγόριε.

Ὁ βίος σου, ὑπὲρ ἥλιον λάμψας, συμπαθείας ἐπαφῆκεν ἀκτῖνας, τὸ σκοτεινόν, νέφος ἐξελαυνούσας, τῶν δεομένων πενίας πανόλβιε, θαλπούσας τε τοὺς τῷ κρυμῷ, τῶν δεινῶν κραιτουμένους θεόπνευστε.

*Θεοτοκίον.*

Νοήσαντες, θεηγόροι Προφῆται, μυστηρίου Σοῦ Παρθένε τὸ βάθος, προφητικῶς, προκατήγγειλαν τοῦτο, φωταγωγούμενοι θείῳ ἐν Πνεύματι· καὶ νῦν ἡμεῖς περιφανῶς, τὰς ἐκβάσεις ὁρῶντες πιστεύομεν.

*Κοντάκιον. Ἦχος β΄. Τὰ ἄνω ζητῶν.*

Τὸν πλοῦτον τὸν σόν, ἐσκόρπισας τοῖς πένησι, καὶ τῶν οὐρανίων τὸν πλοῦτον νῦν ἀπείληφας, Γρηγόριε πάνσοφε· διὰ τοῦτο πάντες σε γεραίρομεν, ἐκτελοῦντες τὴν μνήμην σου, τῆς ἐλεημοσύνης ὢ ἐπώνυμε.

*Ὁ Οἶκος.*

Ἴδιον κάλλος ἐνθεὶς τῇ ψυχῇ σου, τὴν γνησίαν ἀγάπην καὶ τὴν ὡραίαν συμπάθειαν, κόρην ὡραίως κεκοσμημένην, τὴν ἐλεημοσύνην, κλάδοις ἐλαίας ἐν νυκτὶ ἀψευδῶς Γρηγόριε, ἑώρακας, ἱλαρῶς σοι φθεγγομένην· ἐὰν κτήσῃ με φίλην καὶ σύνοικον, ἄξω σε ἐνώπιον τοῦ Βασιλέως Χριστοῦ, καὶ πεισθεὶς τοῦ σκοποῦ οὐ διήμαρτες, τῆς ἐλεημοσύνης ὢ ἐπώνυμε.

*Συναξάριον*

Τῇ ΚΕ' τοῦ αὐτοῦ μηνός, Μνήμη τοῦ Ἁγίου Γρηγορίου ἀρχιεπισκόπου Ἡρακλείας καὶ Ῥαιδεστοῦ.

*Γρηγόριε πένησι δοὺς καὶ σκορπίσας,*
*ὢ ποῖα Χριστῷ νῦν παρεστὼς λαμβάνεις.*

*ᾨδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.*

Λαμπρυνόμενος φέγγει τῆς ἀκτίστου Τριάδος Πάτερ θεόληπτε, ὡς θεῖος ἱεράρχης, καὶ ἀρετῶν δοχεῖον, Γρηγόριε θεοδόξαστε, διασκεδάζεις ἀεί, τὴν τῶν παθῶν ὁμίχλην.

Ψυχικῶν νοσημάτων καὶ παθῶν ἀκαθάρτων σωμάτων Ἅγιε, τὰ ἄλγη καὶ τὰ βάρη, ἰᾶται ἡ σωρός σου, Γρηγόριε παμμακάριστε, τῶν αἰτουμένων πιστῶς, τῇ θείᾳ ἀρωγῇ σου.

Ἐν τῇ σῇ προστασίᾳ Γρηγόριε καυχᾶται ἡ θεία μάνδρα σου, καὶ πάντας προσκαλεῖται, τελέσαι σου τὴν μνήμην, καὶ πιστῶς ἀποῤῥύσασθαι, ἐκ τῆς σεπτῆς σου σωροῦ, ἰάματα ποικίλα.

*Θεοτοκίον.*

Ἱλασμὸν ἡμῖν αἴτει καὶ ψυχῶν σωτηρία Παρθένε ἄχραντε, καὶ λύσιν τῆς ὑπούλου, ἐχθροῦ καὶ μανιώδους, καθ’ ἡμῶν ἐπιθέσεως, ἵνα ὑμνῶμεν ἁγνή, τὴν ἄφραστόν σου δόξαν.

*ᾨδὴ η΄. Τὸν Βασιλέα.*

Γνώμῃ εὐθείᾳ, καὶ καθαρᾷ διανοίᾳ, ἱεράτευσας τῷ ἐν ὑψίστοις Πάτερ· ὅθεν ἠξιώθης, τῆς οὐρανίου δόξης.

Ἔλαμψας Πάτερ, ἀγγελικῇ πολιτείᾳ, ὥσπερ ὁ ἥλιος ἐν τοῖς ὑστέροις χρόνοις, Γρηγόριε λαμπρύνων, πιστῶν τὰς διανοίας.

Ῥῦσαι κινδύνων, καὶ πειρασμῶν πολυτρόπων, τοὺς προστρέχοντας τῇ θείᾳ σου πρεσβείᾳ, καὶ σὲ ἀνυμνοῦντας, ὡς θεῖον ἱεράρχην.

*Θεοτοκίον.*

Ἀφράστως Κόρη, τὸν Ποιητὴν τετοκυῖα, πηγὴ πέφηνας τῆς θείας εὐσπλαγχνίας, ἔλεος καὶ χάριν, ἡμῖν ἀεὶ αἰτοῦσα.

*ᾨδὴ θ΄. Κυρίως Θεοτόκον.*

Σκηνὰς τὰς οὐρανίους, νῦν περιπολεύων, καὶ θέσει θείᾳ θεούμενος Ἅγιε, ἡμῖν ἐξαίτει πταισμάτων τὴν ἀπολύτρωσιν.

Ὁσίως διανύσας, Πάτερ τὸν σὸν βίον, ἐν ὁσιότητι πάσῃ ἐνίσχυσιν, κἀμὲ τελέσαι τὸν βίον τὸν σὲ γεραίροντα.

Ἰάσεις ἀναβλύζει, θείᾳ ἐνεργείᾳ, τὸ σὸν μυρίπνοον σκήνωμα Ὅσιε, ᾧ προσιόντες πληρούμεθα θείας χάριτος.

Ὡς ὄρθρος ὡς ἡμέρα, Γρηγόριε Πάτερ, ἡ φωταυγής σου ἐξέλαμψε κοίμησις, φωταγωγοῦσα τοὺς πίστει σε μακαρίζοντας.

*Θεοτοκίον.*

Ὑπέραγνε Μαρία, ἡ τὸν Θεὸν Λόγον, ἐν ἀνθρωπίνῃ μορφῇ κόσμῳ τέξασα, ἐξ ἀλογίας με πάσης παθῶν ἀπάλλαξον.

*Ἐξαποστειλάριον. Ὁ οὐρανὸν τοῖς ἄστροις.*

Τὸν μιμητὴν φανέντα, τοῦ φιλοικτίρμονος Θεοῦ, ὑμνήσωμεν Γρηγόριον, ὅπως χρεῶν ἀποκοπήν, καὶ λῦσιν πλημμελημάτων, δι’ αὐτοῦ τύχωμεν πάντες.

*Θεοτοκίον.*

Ὁ γλυκασμὸς τῶν Ἀγγέλων, τῶν θλιβομένων ἡ χαρά, χριστιανῶν ἡ προστάτις, Παρθένε Μήτηρ Κυρίου, ἀντιλαβοῦ μου καὶ ῥῦσαι, τῶν αἰωνίων βασάνων.

*Αἶνοι. Ἦχος πλ. δ΄. Ὢ τοῦ παραδόξου θαύματος.*

Ὅσιε Πάτερ Γρηγόριε, τῶν ἐπιγείων τερπνῶν, πᾶσν σχέσιν κατέλιπες, καὶ σαρκὸς εὐπάθειαν, οὐρανίῳ σου ἔρωτι, καὶ τῷ Σωτῆρι κατηκολούθησας, ἐν γῇ βιώσας, καθάπερ ἄγγελος, ὢ τῶν ἀγώνων σου, δι’ ὧν πλήρης γέγονας τῶν δωρεῶν, τοῦ Ἁγίου Πνεύματος, ὡς ἐνθεώτατος.

Πάτερ, θεόφρον Γρηγόριε, ἀποσταλεὶς ἐκ Θεοῦ, ὡς οὐράνιος ἄνθρωπος, πρὸς τὴν πόλιν ἔφθασας, Θεσσαλονικέων μακάριε· καὶ ταύτην πλήσας τῆς εὐλογίας σου, ἀεὶ προσάγει θερμῶς βοῶσά σοι· ὥσπερ ἐποίμανας, πάλαι ταύτην Ἅγιε οὕτως καὶ νῦν, πάντοτε φύλαττε, τὴν κληρουχίαν σου.

Ἔλεος θεῖον ἀντλήσατε, τὸ ἐκ πηγῆς προελθόν, Γρηγορίου τοῦ μάκαρος, τοῦ καὶ ἐλεήμονος, καὶ Θεῷ ἐλεήμονι, τῷ ἐν Τριάδι βοήσατε· ὁ ἐν Ἁγίοις τοῖς ἐλεήμοσι, ἀναπαυόμενος, σῶσον ταῖς εὐχαῖς αὐτοῦ, ὡς ἀγαθός, πόθῳ ἑορτάζοντας, τὴν θείαν μνήμην αὐτοῦ.

Ἅπας, φιλεόρτων σύλλογος, ἄνθη ἐπαίνων χαρᾷ, καὶ ᾀσμάτων συλλέξαντες, τῇ ἐμπνεύσει τοῦ Πνεύματος, ᾀσματόπλοκον στέφανον, τῷ Γρηγορίῳ τῷ ἐλεήμονι, μετ’ εὐσεβείας ἅπαντες πλέξωμεν· ὢ

συμπαθέστατε, πρὸς αὐτὸ κραυγάζοντες ἀεὶ Χριστόν, Ἅγιε ἱκέτευε, ἐλεηθῆναι ἡμᾶς.

*Δόξα. Ἦχος πλ. δ΄.*

Τῆς ἐγκρατείας τῷ φωτί, καταλαμπρύνας τὸν βίον, πολιτείᾳ ἐφαίδρυνας προτερημάτων τὴν εἰκόνα Ὅσιε, καὶ ἀγγελικῶς ἱερατεύων, ὡς θυσίαν λογικήν, Θεῷ προσήνεγκας, τῶν ἀρετῶν σου τα κατορθώματα, ἀνθ’ ὧν τῆς ἀφθαρσίας τὸ γέρας καὶ τὸ διάδημα τῆς ζωῆς ἐκομίσω, παντοκρατορικῇ δεξιᾷ. Καὶ νῦν ὡς ἱεράρχης ὅσιος καὶ ἀσκητὴς θεοφόρος, Γρηγόριε μακάριε, πρέσβευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Θεοτοκίον*

Ἀνύμφευτε Παρθένε, ἡ τὸν Θεὸν ἀφράστως συλλαβοῦσα σαρκί, Μήτηρ Θεοῦ τοῦ ὑψίστου, σῶν οἰκετῶν παρακλήσεις δέχου Πανάμωμε, ἡ πᾶσι χορηγοῦσα καθαρισμὸν τῶν πταισμάτων, νῦν τὰς ἡμῶν ἱκεσίας προσδεχομένη, δυσώπει σωθῆναι πάντας ἡμᾶς.

*Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.*

*Μεγαλυνάριον.*

Τὸν τῆς Ἐκκλησίας νέον πυρσόν, καὶ Θεσσαλονίκης, τὸν φωστῆρα τὸν φαεινόν, τὸν θερμὸν προστάτην, καὶ θεῖον ἱεράρχην, Γρηγόριον τὸν μέγαν, ὕμνοις τιμήσωμεν.